πάντες οἱ ἐλπίζοντες ἐπὶ κύριον.

31 ΛΑ΄

1 Τῷ Δαυιδ· συνέσεως.
Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι
καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι·
2 μακάριος ἀνήρ, οὗ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν,
οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.
3 ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου
ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν·
4 ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ᾽ ἐμὲ ἡ χείρ σου,
ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναι ἄκανθαν.
διάψαλμα.
5 τὴν ἁμαρτίαν μου ἐγνώρισα
καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα·
εἶπα Ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ·
καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς ἁμαρτίας μου.
διάψαλμα.
6 ὑπὲρ ταύτης προσεύξεται πᾶς ὅσιος πρὸς σὲ ἐν καιρῷ εὐθέτῳ·
πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσιν.
7 σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με·
τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.
διάψαλμα.
8 συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ,
ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.
9 μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις,
ἐν χαλινῷ καὶ κημῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι
τῶν μὴ ἐγγιζόντων πρὸς σέ.
10 πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ,
τὸν δὲ ἐλπίζοντα ἐπὶ κύριον ἔλεος κυκλώσει.
11 εὐφράνθητε ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι,
καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

32 ΛΒ΄

1 Τῷ Δαυιδ.
Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ κυρίῳ·
τοῖς εὐθέσι πρέπει αἴνεσις.

25$^{2}$ κυριον] pr. τον S†
31 (𝔐 32) 1 tit. τω δ./συνεσ.] tr. B, ψαλμος τω δ. A | 1$^{1}$ αφειθησαν S || 4$^{2}$ εμπαγηναι] εμ > A†, + μοι A || 5$^{1.2}$ αμαρτιαν ... ανομιαν] tr. A | 5$^{3}$ ανομιαν] αμαρτιαν B | 5$^{4}$ αμαρτιας Ga] καρδιας BSA || 6$^{1}$ πας οσ./προς σε BS†] tr. rel. || 9$^{2}$ χαλινω .. κημω] tr. A | αγξις A
32 (𝔐 33) 1 tit. τω δ.] pr. ψαλμος A | 1$^{2}$ αινεσις] pr. η A†